Δημόκριτος

«Τουτο μεν ουν εοικασι παντες ομολογειν, οτι γεγονεν (1) ... και πας ο κοσμος· αλλ' αμα γαρ αυτης ποιουσι την γενεσιν ωσπερ αλλου τινος ... τουτον, και περι της θαλαττης ... υποληπτεον. Το δε νομιζειν ελαττω τε γινεσθαι το πληθος ωσπερ φησι Δημοκριτος, και τελος υπολειψειν, των Αισωπου μυθων ουδεν διαφερειν εοικεν ο πεπεισμενος ουτως· και γαρ εκεινος εμυθολογησεν ως δις μεν η Χαρυβδις αναρροφησασα το μεν πρωτον τα ορη εποιησε φανερα, το δε δευτερον τας νησους, το δε τελευταιον ροφησασα ξηραν ποιησει παμπαν..»

Αριστ. Μετεωρ. Β. Κεφ. γ' σ. 578

«Ειρηκε μεν ουν περι αυτων (οδοντων) και Δημοκριτος, ου καλως δ' ειρηκεν· ου γαρ επι παντων σκεψαμενος καθολου λεγει την αιτιαν· φησι γαρ εκπιπτειν μεν δια το προ ωρας γινεσθαι τοις ζωοις· ακμαζοντων γαρ, ως ειπειν, φυεσθαι κατα φυσιν· του δε προ ωρας γινεσθαι το θηλαζειν αιτιαται· καιτοι θηλαζει γε και υς, ουκ εκβαλλει δε τους οδοντας· ετι δε τα καρχαροδοντα θηλαζει μεν παντα, ουκ εκβαλλει δ' ενια αυτων πλην τους κυνοδοντας· ετι δε τα καρχαροδοντα θηλαζει μεν παντα, ουκ εκβαλλει δ' ενια αυτων πλην τους κυνοδοντας, οιον οι λεοντες. Τουτο μεν ουν ημαρτε καθολου λεγων, ου σκεψαμενος το συμβαινον επι παντων· δει δε τουτο ποιειν· αναγκη γαρ τον λεγοντα καθολου τι λεγειν περι παντων..»

Περι ζωων γενεσεως Β. ε' Κεφ VIII σ. 429

149

Δημόκριτος

„Τοῦτο μὲν οὖν ἐοίκασι πάντες ὁμολογεῖν, ὅτι γέγονεν (1) Αρισ. Μετεωρολ.
ὥσπερ καὶ πᾶς ὁ κόσμος· ἅμα γὰρ αὐτῆς ποιοῦσι τὴν γένεσιν Β. Κεφ. Γ.
ὥστε δῆλον ὥσπερ ἀΐδιον τὸ πᾶν, καὶ περὶ τῆς θαλάσσης σ. 578
ὁμοίως ὑποληπτέον. Τὸ δὲ νομίζειν ἐλάττω τε γίνεσθαι τὸ πλῆθος ὥσπερ φησὶ Δημόκριτος, καὶ τέλος ὑπολείψειν, τῶν Αἰσώπου μύθων οὐδὲν διαφέρειν ἔοικεν ὁ πεισθεὶς οὕτως· καὶ γὰρ ἐκεῖνος ἐμυθολόγησεν ὡς δὶς μὲν ἡ Χάρυβδις ἀναρροφήσασα τὸ μὲν πρῶτον τὰ ὄρη ἐποίησε φανερά, τὸ δὲ δεύτερον τὰς νήσους, τὸ δὲ τελευταῖον ῥοφήσασα ξηρὰν ποιήσει πάμπαν..."

„Εἴρηκε μὲν οὖν περὶ αὐτῶν (ὀδόντων) καὶ Δημόκριτος, οὐ κα- Περὶ ζῴων γε-
λῶς δ' εἴρηκεν· οὐ γὰρ ἐπὶ πάντων σκεψάμενος καθόλου λέγει νέσεως Β. ε'
τὴν αἰτίαν· φησὶ γὰρ ἐκπίπτειν μὲν διὰ τὸ πρὸ ὥρας γίνεσθαι Κεφ. VIII σ. 429
τοῖς ζῴοις· ἀκμαζόντων γάρ, ὡς εἰπεῖν, φύεσθαι κατὰ φύσιν· τοῦ δὲ πρὸ ὥρας γίνεσθαι τὸ θηλάζειν αἰτιᾶται· καίτοι θηλάζει γε καὶ ὗς, οὐκ ἐκβάλλει δὲ τοὺς ὀδόντας· ἔτι δὲ τὰ καρχαρόδοντα θηλάζει μὲν πάντα, οὐκ ἐκβάλλει δ' ἔνια αὐτῶν πλὴν τοὺς κυνόδοντας· ἔτι δὲ τὰ καρχαρόδοντα θηλάζει μὲν πάντα, οὐκ ἐκβάλλει δ' ἔνια αὐτῶν πλὴν τοὺς κυνόδοντας, οἷον οἱ λέοντες. Τοῦτο μὲν οὖν ἥμαρτε καθόλου λέγων, οὐ σκεψάμενος τὸ συμβαῖνον ἐπὶ πάντων· δεῖ δὲ τοῦτο ποιεῖν· ἀνάγκη γὰρ τὸν λέγοντα καθόλου τι λέγειν περὶ πάντων..."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ